Χο. Εὖγε ξυνέβαλεν αὔτ', ἀτὰρ δῆλόν γ', ἀφ' οὗ ξυνέγνω.
Ὅτι ἢ 'πιόρκεις θ' ἡρπακὼς, καὶ κρέας ὁ πρωκτὸς εἶχεν.
Κλ. Ἐγώ σε παύσω τοῦ θράσους. οἶμαι δὲ μᾶλλον ἄμφω.
Ἔξειμι γάρ σοι λαμπρὸς ἤδη, καὶ μέγας καθιεὶς,
Ὁμοῦ ταράττων τήν τε γῆν, καὶ τὴν θάλατταν εἰκῇ. B
Αλ. Ἐγὼ δὲ συστείλας γε τοὺς ἀλλᾶντας, εἶτ' ἀφήσω
Κατὰ κῦμ' ἐμαυτὸν οὔριον, κλάειν σε μακρὰ κελεύων.
Δημ. Κἄγωγ', ἐάν τι παραχαλᾷ, τὴν ἀντλίαν φυλάξω.
Κλ. Οὔτοι, μὰ τὴν Δήμητρα, καταπροΐξει, τάλαντα πολλὰ C
Κλέψας Ἀθηναίων. Χο. ἄθρει, καὶ τοῦ ποδὸς παρίει.
Ὡς οὗτος ἤδη κακίας, καὶ συκοφαντίας πνεῖ.
Κλ. Σὲ δ' ἐκ Ποτιδαίας ἔχοντ' εὖ οἶδα δέκα τάλαντα.
Αλ. Τί δῆτα; βούλει τῶν ταλάντων ἓν λαβὼν σιωπᾶν; D
Χο. Ἀνὴρ ἂν ἡδέως λάβοι, τοὺς δὲ θείους παρίει.

*CH. Euge, ut probè hoc coniectauit? nam manifestum unde nôrit:*
*Cùm peierasses tu, & carnem ablatam cælaret anus.*
CL. *Ego hanc audaciam compescam, & vos, nî fallor, ambos.*
*Nam ex eo tibi huc iam lucidus, rapidaque immissus aura,*
*Terram simul & mare conturbo, quoquò impellor, furenter.*
*AG. Ego verò contraham farcimina, & in fluctus meipsum*
*Vento secundo demittam: & te longum flere iubebo.*
*DE. Et ego sentinam asseruabo, si qua funes remittent.*
CL. *Non tu, sic me Ceres amet, frustra me irriseris, qui*
*Talenta multa furatus es Reip.* CH. *vide & relaxa*
*Pedem: nam malitias hic spirat, sycophantiásque.*
CL. *Ego te decem talenta è Potidæa iam habere noui.*
AG. *Quid? vin' tu unum accipere talentum à me, & posteà tacere?*
CH. *Homo iste lubens acceperit: elaxa iam rudentes.*

Σχόλια. Εὖγε ξυνέβαλεν.] ἀπ' αὐτῶν τῶν πραττομένων φανερὸν ἦν τὸ ἀποβησόμενον. Ὅτι ἢ 'πιόρκεις.] πάλιν κἀνταῦθα τῶν πολιτευομένων καθάπτεται. ὡς ἐξ ἐπιορκίας καὶ κλοπῆς συνεστηκότων καὶ τοιούτων ἐθῶν. διὰ τοῦτο καὶ τὸν ἀλλαντοπώλην διαπρέπειν ἐν τῇ πολιτείᾳ ὁ ῥήτωρ ἔφησεν. Ὁ πρωκτὸς εἶχεν.] ἤτοι τὴν μοχθηρίαν αὐτοῦ καὶ ῥυπαρίαν, καὶ τούτῳ δείκνυσι τῷ τρόπῳ, καὶ ὅτι κατέκρυπτε κλέπτων ἐν τῷ πρωκτῷ κρέα, καὶ ταῦτα πάλιν αὐτὸς ἤσθιεν. ἢ διαβάλλειν εἰς ἀσέλγειαν αὐτὸν θέλει, ὡς δὴ παρ' ἡλικίαν τὰ τῶν γυναικῶν παθόντα. Καθιείς.] παρεσκευασμένος. καθιέναι δὲ κυρίως τὸ χαλᾶν τὰ τῶν νεῶν ἱστία. ταῦτα δὲ προσφόρως εἴρηκεν ὁ Κλέων. ἦν γὰρ σφοδρὸς ἐν τοῖς λόγοις. καθιεὶς οὖν, ἀντὶ τοῦ καθειμένος πνέων. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἀνέμων. Καὶ τὴν θάλατταν εἰκῇ.] πάλιν ἐπὶ σοὶ μηχανησάμενος καὶ πάντα κινήσας ἐπιβουλῆς τρόπον. δι' ὧν δὲ ἀπειλεῖ ἀδύνατα καὶ μείζονα, δι' αὐτῶν δηλοῖ τὴν σπουδὴν τῆς ἐπιβουλῆς τῆς κατ' αὐτοῦ. εἰκῇ δὲ ἀντὶ τοῦ ἁπλῶς καὶ ὡς ἔτυχε μάτην. τουτέστιν ἐπ' οὐδενὶ ἀναγκαίῳ καὶ σπουδαίῳ πράγματι, φανερὰν καὶ ἐν τούτῳ ποιῶν τὴν ἑαυτοῦ ἐξουσίαν, ἣν κατὰ τῆς πόλεως εὐτυχεῖ, εἰ ἐπ' αὐτοῦ καθέστηκε τὸν δῆμον κινεῖν καὶ παροξύνειν καθ' ὧν βούλεται, καὶ ταῦτα ἐπ' οὐδεμιᾷ προφάσει ἢ λόγῳ. Ἐγὼ συστείλας.] καὶ τοῦτο παρεπιγραφή. ὃ γὰρ εἶπε καὶ ποιεῖ. τουτέστιν ὃ κατέθετο τῶν ἀλλάντων φθάσας ἐπιών, τοῦτο πάλιν ἀναιρούμενος τῆς θυμέλης ἐξάγει. Κατὰ κῦμ' ἐμαυτόν.] ἀπὸ τῶν ἀφιέντων ἑαυτοὺς κατὰ κῦμα φέρεσθαι. Κλάειν σε μακρὰ κελεύων.] τὸ μὲν εἶδος ἀρχαῖον Ἀττικὸν τῆς συνθέσεως. ὡς μακρὰ χαίρειν σοὶ λέγω καὶ οἰμώζειν μακρά. τὸ δὲ λεγόμενον, πρόδηλον. φησὶ γὰρ, ἧττον σου φροντίσας τῶν ἀπειλῶν ἀπελεύσομαι ἢ καταλείψω σε εἰς τὸ κλάειν. ἵνα δόξῃ καὶ φιλονεικεῖν καὶ διαλοιδορεῖσθαι πρὸς αὐτόν. εἰώθασι γὰρ οἱ βελτίονες, καὶ τῶν λοιδοριῶν ὑπερφρονεῖν τῶν ἡττόνων. Κἄγωγ' ἄντι παραχαλᾷ.] ἑξῆς καὶ οὗτος τῆς ἀντλίας ἐμνημόνευσεν. ἵνα καὶ αὐτὸς ἴδιον ἀπὸ τῆς θαλάσσης δοκῇ ἀστεΐζεσθαι. ὥσπερ καὶ ὁ ἀλλαντοπώλης. ἀντλία δὲ λέγεται, τόπος τις τοῦ πλοίου εἰς ὃν τὸ ὕδωρ σωρεύεται εἰς τὴν ναῦν καὶ ἀλλαχοῦ. οὐ γὰρ ἔθ' οἷός τ' εἰμ' ὑπερέχειν τῆς ἀντλίας. ἀντὶ τοῦ ἀντέχειν καὶ ὑπεργίνεσθαι τοῦ πράγματος. λέγει δὲ ὅτι φυλάξω, ἐάν τι τῆς ἀντλίας εἰσδέχεται. ἰστέον δὲ ὅτι ἱστάμενον καὶ χρονίζον τὸ ὕδωρ, κάκιστον ὄδωδεν. τί ποτε οὖν βούλεται τῷ ποιητῇ ζητητέον τὸ ἀπειλεῖν τούτῳ παραφυλάξειν τὴν ἀντλίαν. πλὴν εἰ μὴ τοὺς προειπόντας ὡς καὶ αὐτοὺς ψυχρολογήσαντας σκώπτειν θέλει. διὰ τοῦτο ἀδύνατα εἴρηκεν. οὔτε γὰρ ἦν τῷ Κλέωνι δυνατὸν ἀνθρώπῳ γε ὄντι, κινῆσαι τὴν γῆν καὶ τὴν θάλατταν. οὔτε τῷ ἀλλαντοπώλῃ ῥίψαι καὶ διασκευάσαι κατὰ κυμάτων ἑαυτόν. καὶ τοῦτο ἀνόητον καὶ περιττόν, ὁ ἐπὶ τῇ ἀντλίᾳ τῆς φρουρᾶς πόνος. ἄλλως. περὶ τοῦ ῥηθέντος παρὰ τοῦ Κλέωνος λόγου, ὅτι συνταράξει τὴν θάλασσαν, καὶ οὗτος ἀπήντησεν εἰπών. Καταπροίξῃ.] οὐ προῖκά μου καταφρονήσεις. τουτέστι δωρεάν μοι ἐγχανῇ. καταγελάσεις μου χωρὶς ζημίας. προῖκα γὰρ ἔλεγον τὴν ζημίαν. καὶ ἀλλαχοῦ. οὔτοι μὰ τὼ θεὼ σὺ καταπροίξει λέγουσα ταυτί. ἡ πρὸ δὲ ἀντὶ τῆς παρά. προϊκνεῖσθαι. τινὲς δὲ ἀπὸ τοῦ ἵξεσθαι ὅ ἐστι δωρεάν τινα λαβεῖν. Ἡρόδοτος. οὐ γὰρ δὴ ἐμέ γε ὧδε λωβησάμενος καταπροίξεται. Ἀρχίλοχος. εὖ δ' ἐκεῖνος οὐ καταπροίξεται. Ἡρωδιανὸς δὲ ἐν ἐπιμερισμοῖς παρὰ τὸ ἴσσω φησί. καὶ Ἀρχίλοχος. προτείνω χεῖρα καὶ προΐσσομαι. Καὶ τοῦ ποδὸς παρίει.] μεταφορικῶς ἀπὸ τῶν πλεόντων ἐχρήσατο, ἐπειδὰν γὰρ πλείων ἄνεμος ἐμπέσῃ τοῖς πλέουσι συστέλλουσι, καὶ παραιροῦσι τῶν ἱστίων τὰ πολλά. ἢ τὸ μὲν ἓν μέρος τοῦ ἱστίου,